Ακαδημία Αθηνών / Academy of Athens

*ἐργασίης περιγινόμενος ἐπιφανέστερον τὸ ὄνειδος κέκτηται* 283 *πενίη* *π λ ο ῦ τ ο ς* *ὀνόματα ἐνδείης καὶ κόρου* 284 *ἢν μὴ πολλῶν ἐπιθυμέῃς, τὰ ὀλίγα τοι πολλὰ δόξει· σμικρὰ γὰρ ὄρεξις πενίην ἰσοσθενέα* *π λ ο ύ τ ῳ* *ποιέει.* || Ἐμπεδοκλῆς 129.2 *ἦν δέ τις ἐν κείνοισιν ἀνὴρ περιώσια εἰδώς, ὃς δὴ μήκιστον πραπίδων ἐκτήσατο* *π λ ο ῦ τ ο ν*, *παντοίων τε μάλιστα σοφῶν ⟨τ'⟩ ἐπιήρανος ἔργων* 132.1 *ὄλβιος, ὃς θείων πραπίδων ἐκτήσατο* *π λ ο ῦ τ ο ν*, *δειλὸς δ', ᾧ σκοτόεσσα θεῶν πέρι δόξα μέμηλεν.*

**πλυντρίς.** Πλυντρὶς γῆ/ἀργιλῶδες χῶμα, clayish earth/clay, Μενέστωρ 6 τοιαύτην δ' εἶναι τὴν *π λ υ ν τ ρ ί δ α*, χρῶμα δ' ὑπόλευκον.

**πνεῦμα 1.** Κοσμικὴ πνοή, cosmic breath, Ἀναξιμένης 2 *οἷον ἡ ψυχὴ ... ἡ ἡμετέρα ἀὴρ οὖσα συγκρατεῖ ἡμᾶς, καὶ ὅλον τὸν κόσμον* *π ν ε ῦ μ α* *καὶ ἀὴρ περιέχει.* Πρβλ. *αἰθὴρ* **2** (συνών. *πνοιή*). Πνοὴ/φύσημα, breath/blowing, Ἐμπεδοκλῆς 84.4 *ἅψας παντοίων ἀνέμων λαμπτῆρας ἀμοργούς, οἵ τ' ἀνέμων μὲν* *π ν ε ῦ μ α* *διασκιδνᾶσιν ἀέντων, φῶς δ' ἔξω διαθρῷσκον ... λάμπεσκεν.* || Ἀρχύτας 1.32-37-42-51 *ἀλλὰ καὶ ὄκκα ἄμμες ἢ λέγοντες ἢ ἀείδοντες χρῄζομές τι μέγα φθέγξασθαι καὶ ὀξύ, σφοδρῷ τῷ* *π ν ε ύ μ α τ ι* *φθεγγόμενοι ... τωὖτὸ δὲ καὶ ταῖς φωναῖς συμβήσεται· τᾷ μὲν ὑπὸ [τῶ] ἰσχυρῶ τῶ* *π ν ε ύ μ α τ ο ς* *φερομένα μεγάλα τε ἦμεν καὶ ὀξέα ... τὸ ἐκ τῶ στόματος φερόμενον* *π ν ε ῦ μ α* *... ὀξύτερον ἆχον ἀφίησιν ... τὸ γὰρ αὐτὸ* *π ν ε ῦ μ α* *διὰ μὲν τῶ μακρῶ τόπω ἀσθενὲς ἐκφέρεται, διὰ δὲ τῶ μείονος σφοδρὸν* **3.** Ἀὴρ/πνοὴ ἀέρος, air/breath of air, Ἐμπεδοκλῆς 100.15-21 *π ν ε ύ μ α τ ο ς* *ἐλλείποντος ἐσέρχεται αἴσιμον ὕδωρ ... ἔμπαλιν ἢ πρίν,* *π ν ε ύ μ α τ ο ς* *ἐμπίπτοντος ὑπεκθέει αἴσιμον ὕδωρ* 111.5 *παύσεις δ' ἀκαμάτων ἀνέμων μένος ... καὶ πάλιν ... παλίντιτα* *π ν ε ύ μ α τ (α)* *ἐπάξεις* **4.** Ἔμπνευση, inspiration, Δημόκριτος 18 *ποιητὴς δὲ ἅσσα μὲν ἂν γράφῃ μετ' ἐνθουσιασμοῦ καὶ ἱεροῦ* *π ν ε ύ μ α τ ο ς*, *καλὰ κάρτα ἐστίν.*

**πνοιὴ 1.** Πνοὴ/ἀνάσα, breath, Ἐμπεδοκλῆς 102 *ὧδε μὲν οὖν* *π ν ο ι ῆ ς* *τε λελόγχασι πάντα καὶ ὀσμῶν* **2** (συνών. *πνεῦμα*). Πνοὴ/φύσημα, blast of wind, Ἐμπεδοκλῆς 111.4 *παύσεις δ'*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

*ἀκαμάτων ἀνέμων μένος οἵ τ' ἐπὶ γαῖαν ὀρνύμενοι* π ν ο ι α ῖ σ ι *καταφθινύθουσιν ἀρούρας.*

**ποδηγετεῖν.** Ποδηγετῶ/χειρίζομαι, guide/manage, Δημόκριτος 173 *ἀνθρώποισι κακὰ ἐξ ἀγαθῶν φύεται, ἐπήν τις τἀγαθὰ μὴ 'πιστῆται* π ο δ η γ ε τ ε ῖ ν *μηδὲ ὀχεῖν εὐπόρως.*

**ποθέειν.** 'Επιθυμῶ/ποθῶ, desire/long for, 'Εμπεδοκλῆς 110.9 *ἤ σ' ἄφαρ ἐκλείψουσι περιπλομένοιο χρόνοιο σφῶν αὐτῶν* π ο θ έ ο ν τ α *φίλην ἐπὶ γένναν ἱκέσθαι.* || **ποθεῖσθαι.** 'Εμπεδοκλῆς 21.8 *ἐν δὲ Κότῳ διάμορφα καὶ ἄνδιχα πάντα πέλονται, σὺν δ' ἔβη ἐν Φιλότητι καὶ ἀλλήλοισι* π ο θ ε ῖ τ α ι. Πρβλ. *ἐπιθυμεῖν, πόθος.*

**πόθεν 1.** 'Απὸ ποῦ, whence, Ξενοφάνης 22.4 *τίς* π ό θ ε ν *εἷς ἀνδρῶν* Παρμενίδης 8.7 *πῇ* π ό θ ε ν *αὐξηθέν;* 'Εμπεδοκλῆς 14 π ό θ ε ν *οὖν τί κ' ἐπέλθοι;* 17.32 *καὶ* π ό θ ε ν *ἐλθόν;* **2.** 'Απὸ κάπου, from some place, "Ιππων 1 *οὕτω γὰρ οὐκ ⟨ἂν⟩ ἐκ τῆς θαλάσσης τὸ ὕδωρ εἴη, ἀλλ' ἄλλοθέν* π ο θ ε ν.

**πόθος.** Πόθος, yearning/longing, 'Εμπεδοκλῆς 64 *τῷ δ' ἐπὶ καὶ* π ό θ ο ς *εἶσι δι' ὄψιος ἀμμιμνήσκων (?).*

**ποιεῖν 1.** Ποιῶ/πλαστουργῶ, shape, Ξενοφάνης 15.4 *βόες δέ τε βουσὶν ὁμοίας καί ⟨κε⟩ θεῶν ἰδέας ἔγραφον καὶ σώματ'* ἐ π ο ί ο υ ν *τοιαῦθ' οἷόν περ καὐτοὶ δέμας εἶχον ⟨ἕκαστοι⟩* **2.** Πράττω/ἐνεργῶ, do/act, 'Ηράκλειτος 1 *τοὺς δὲ ἄλλους ἀνθρώπους λανθάνει ὁκόσα ἐγερθέντες* π ο ι ο ῦ σ ι ν, *ὅκωσπερ ὁκόσα εὕδοντες ἐπιλανθάνονται* 5 *μαίνεσθαι δ' ἂν δοκοίη, εἴ τις αὐτὸν ἀνθρώπων ἐπιφράσαιτο οὕτω* π ο ι έ ο ν τ α 73 *οὐ δεῖ ὥσπερ καθεύδοντας* π ο ι ε ῖ ν *καὶ λέγειν* 112 *σωφρονεῖν ἀρετὴ μεγίστη, καὶ σοφίη ἀληθέα λέγειν καὶ* π ο ι ε ῖ ν *κατὰ φύσιν ἐπαΐοντας* Δημόκριτος 258 *καὶ ταῦτα ὁ* π ο ι ῶ ν *εὐθυμίης (?) ... ἐν παντὶ κόσμῳ μέζω μοῖραν μεθέξει* 259 *ὅκωσπερ περὶ κιναδέων τε καὶ ἑρπετέων γεγράφαται τῶν πολεμίων, οὕτω καὶ κατὰ ἀνθρώπων δοκεῖ μοι χρεὼν εἶναι* π ο ι ε ῖ ν 264 *μηδέν τι μᾶλλον τοὺς ἀνθρώπους αἰδεῖσθαι ἑωυτοῦ . . . ἀλλ' ἑωυτὸν μάλιστα αἰδεῖσθαι, καὶ τοῦτον νόμον τῇ ψυχῇ καθεστάναι, ὥστε μηδὲν* π ο ι ε ῖ ν *ἀνεπιτήδειον* 266.8 *ἀλλά τις ἢ θεσμὸς ἤ τι*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ